εὕροις ἂν, ὅστις ἐστὶ μὴ χείρων πατρός.
ΧΟ. Ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
ξὺν τῷ δικαίῳ βούλεται προσωφελεῖν.
τοίγαρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
ἤνεγκε. καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.
ΔΗ. Σοί τ' εὖ λέλεκται. καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
τοιαῦτ' ἔσεσθαι. μνημονεύσεται χάρις.
κἀγὼ μὲν ἀστῶν ξύλλογον ποιήσομαι,
τάξω θ' ὅπως ἂν τὸν Μυκηναίων στρατὸν
πολλῇ δέχωμαι χειρὶ, (πρῶτα μὲν σκοποὺς
πέμψω πρὸς αὐτὸν, μὴ λάθῃ με προσπεσὼν,
ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος)
μάντεις θ' ἀθροίσας, θύσομαι. σὺ δ' εἰς δόμους
ξὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
εἰσὶν γὰρ οἵ σου, κἂν ἐγὼ θυραῖος ὦ,
μέριμναν ἕξουσ'. ἀλλ' ἴθ' εἰς δόμους, γέρον.
ΙΟ. Οὐκ ἂν λίποιμι βωμόν. ἑζώμεσθα δὴ
ἱκέται μένοντες ἐνθάδ', εὖ πρᾶξαι πόλιν.
ὅτ' ἂν δ' ἀγῶνος τοῦδ' ἀπαλλαχθῇς καλῶς,
ἴμεν πρὸς οἴκους. θεοῖσι δ' οὐ κακίοσι
χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ.
τῶν μὲν γὰρ Ἥρα προστατεῖ, Διὸς δάμαρ,
ἡμῶν δ' Ἀθάνα. φημὶ δ' εἰς εὐπραξίαν
καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν.
νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.=

329. ὅςτίς ἐστι
331. σὺν τῷ δικαίῳ
335. μνημονεύσεθ' ἡ χάρις.
336. σύλλογον
337. τάξω δ'
340. ταχὺς γὰρ εἴργει
341. μάντεις τ' ἀθρήσας,
342. σὺν παισὶ
343. θυραῖος ὦ,
345. ἑζόμεσθα δὴ
346. πράξαι
347. ὅταν δ'
351. Ἀθηνᾶ.